# Διάταξις Θείας Λειτουργίας

Μετὰ τὴν περιβολὴν τῶν ἱερῶν αὐτῶν ἀμφίων, οἱ ἱερουργήσοντες ἔρχονται εἰς τὸ χωνευτήριον (θάλασσαν ἢ θαλασσίδιον), παραμέρως τῆς γωνίας τοῦ ἱεροῦ Βήματος, παρὰ τὴν πρόθεσιν, καὶ νίπτουσι τὰς χεῖρας, λέγοντες ἑκάτερος καθ᾽ ἑαυτὸν τὸν ἑξῆς ψαλμόν (κε΄ 6-12).

ΕΥΧΗ ΤΟΥ ΝΙΠΤΗΡΟΣ

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ ποῦς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Μετὰ ταῦτα ἀπέρχεται ὁ Ἱερεὺς εἰς τὴν ἱερὰν Πρόθεσιν
ἐνδεδυμένος ὢν πᾶσαν τὴν ἱερατικὴν στολήν, ὁμοίως καὶ ὁ Διάκονος.

Ἡ Προσκομιδὴ, ἢ ἡ Προετοιμασία τῶν τιμίων Δώρων, γίνεται ὑπὸ τοῦ Ἱερέως κατὰ τὴν διάρκειαν τῆς Ἀκολουθίας τοῦ Ὄρθρου καὶ δὴ ὅταν ψάλλωνται οἱ Αἶνοι.

---

Ἐν τέλει, ὁ Ἱερεύς, κλινόμενος μεγάλως, λέγει,
μετὰ πολλῆς προσοχῆς καὶ συντριβῆς τῆς καρδίας, τὴν Εὐχήν·

ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ

Ο Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· Αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι᾽ οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτως διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ ΤΟΥ ΝΙΠΤΗΡΟΣ

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ ποῦς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

## ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ

Ο Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· Αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι᾿ οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτως διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν ἀπόλυσιν τῆς Προθέσεως·

Ἐν τάφῳ σωματικῶς, * ἐν ᾅδῃ δὲ μετὰ ψυχῆς ὡς Θεός, * ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, * καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, * μετὰ Πατρὸς καὶ Πνεύματος, * πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα.

Ὡς ζωηφόρος, * ὡς παραδείσου ὡραιότερος * ὄντως καὶ παστάδος πάσης βασιλικῆς * ἀναδέδεικται λαμπρότερος, * Χριστέ, ὁ τάφος σου, * ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Καὶ νῦν.

Τὸ τοῦ Ὑψίστου * ἡγιασμένον θεῖον σκήνωμα, * χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, * Θεοτόκε, τοῖς κραυγάζουσιν· * Εὐλογημένη σὺ * ἐν γυναιξί, πανάμωμε Δέσποινα.